ἔτι κομιδῇ παιδὸς ὄντος ἐτελεύτα, τὴν ὀρφανίαν οὐ συμφορὰν ὑποληπτέον, ἀλλὰ δόξης ὑπόθεσιν τὸ τῆς φύσεως γενναῖον ἀποκαλύπτουσαν.

**12** Ὁμήρου μὲν οὖν οὔτε παίδευσιν οὔτ' ἄσκησιν μνήμῃ καθ' ἱστορίαν παρειλήφαμεν, ἀλλ' εὐθὺς ἀνάγκη τὸν ἔπαινον ἅπτεσθαι τῶν ὑπ' αὐτοῦ δεδημιουργημένων, ὕλην ἐκ τροφῆς καὶ μελέτης καὶ διδασκαλίας οὐκ ἔχοντα μηδ' οὖν ἐπὶ τὴν Ἡσιόδου δάφνην καταφυγόντα, τὴν ῥαθύμως καὶ τοῖς ποιμέσιν τῶν ἐπῶν ἐπιπνέουσαν. σοὶ δ' ἐνταῦθα δήπου πολὺς μὲν ὁ Καλλίστρατος, λαμπρὸς δ' ὁ κατάλογος, Ἀλκιδάμας, Ἰσοκράτης, Ἰσαῖος, Εὐβουλίδης. μυρίων μὲν ἐφελκομένων Ἀθήνησι τῶν ἡδονῶν καὶ τοὺς πατρονομίας ἀνάγκαις ὑποκειμένους, ταχείας δ' οὔσης τοῖς μειρακίοις τῆς ἡλικίας εἰς τὰς θρύψεις ὑπολισθάνειν, παρὸν δ' αὐτῷ κατ' ἐξουσίαν ἐκ τῆς τῶν ἐπιτρόπων ὀλιγωρίας, καὶ φιλοσοφίας καὶ τῆς πολιτικῆς ἀρετῆς κατεῖχεν πόθος, ὃς αὐτὸν ἦγεν οὐκ ἐπὶ τὰς Φρύνης, ἀλλ' ἐπὶ τὰς [φιλοσοφίας τὰς] Ἀριστοτέλους καὶ Θεοφράστου καὶ Ξενοκράτους καὶ Πλάτωνος θύρας.

**13** Κἀνταῦθα, ὦ βέλτιστε, φιλοσοφοῖς τῷ λόγῳ διττὰς ἐπ' ἀνθρώποις ἐρώτων ἀγωγάς, τὴν μὲν θαλαττίου τινὸς ἔρωτος παράφορόν τε καὶ ἀγρίαν καὶ κυμαίνουσαν ἐν ψυχῇ, Ἀφροδίτης πανδήμου κλύδωνα, φλεγμαινούσαις νέων ὁρμαῖς αὐτόχρημα θαλάττιον, τὴν δ' οὐρανίου "χρυσῆς τινος σειρᾶς ἕλξιν," οὐ πυρὶ καὶ τόξοις ἐντιθεῖσαν δυσαλθεῖς νόσους τραυμάτων, ἀλλ' ἐπὶ τὴν αὐτοῦ τοῦ κάλλους ἄχραντόν τε καὶ καθαρὰν ἰδέαν ἐξορμῶσαν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415775663/275 UNIVERSITÄT LEIPZIG